# 15 OCTOMBRIE GHERASIMOS MIKRAGHIANANITUL

# SLUJBA SOBORULUI SF.PANTOCRATORULUI ATHOSULUI



## MINEIUL PE OCTOMBRIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Ἀκολουθία ΑΓΙΩΝ ΜΟΝΗΣ ΠΑΝΤΟΚΡΑΤΟΡΟΣ Ἁγίου Ὄρους

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε, ὁ χορὸς τῶν μοναστῶν, τοὺς ἐν τῇ Μονῇ τῇ ἁγίᾳ, τοῦ Παντοκράτορος, βίου καθαρότητι, καὶ ἀρετῶν τῷ φωτί, ἱερῶς διαλάμψαντας, Ὁσίους Πατέρας, διαφόροις ἔτεσιν, ἐνθέῳ ἔρωτι, χαίρετε, αὐτοῖς ἐκβοῶντες, οἱ θεοειδεῖς Ἱεράρχαι, καὶ Ὁσίων σύστημα τρισάριθμον.

Χαίροις, ἡ τριὰς Ἱεραρχῶν, τῆς Ὑπερουσίου Τριάδος, θεῖοι θεράποντες, Κάλλιστε μακάριε, τοῦ Βυζαντίου ποιμήν, καὶ Γρηγόριε πάνσοφε, Θεωνᾶ θεόφρον, πρόεδροι περίδοξοι, Θεσσαλονίκης ὁμοῦ· σκεύη, ἀρετῶν γὰρ ὀφθέντες, τῆς Ὀρθοδοξίας φωστῆρες, καὶ σοφοὶ διδάσκαλοι γεγόνατε.

Πόνοις, ἀρετῶν ἀσκητικῶν, πάσης ὀλικῆς προσπαθείας, τὸν νοῦν καθάραντες, θείας ἐκληρώθητε, χάριτος Ὅσιοι, Μυροβλύτα Θεόφιλε, Γεράσιμε Πάτερ, καὶ θεῖε Νικόδημε, σοφὲ διδάσκαλε· ὅθεν, τὴν Μονὴν ἡμῶν ταύτην, τοῖς ὑμῶν ἐνθέοις ἀγῶσι, κόσμῳ λαμπροτέραν ἀνεδείξατε.

Λύχνοι, ἐναρέτου ἀγωγῆς, τῇ τοῦ Παντοκράτορος θείᾳ, Μονῇ ἐδείχθητε, Ὅσιοι ἐξάριθμοι, ἐνθέοις σκάμμασι, διαφόροις ἐν ἔτεσι, ἐκλάμψαντες ὧδε, καὶ Χριστὸν δοξάσαντες, ὡς οὐρανόφρονες· ὅθεν, ὑμᾶς ἅμα τιμῶμεν, ἐν μιᾷ ἡμέρᾳ συμφώνως, ὡς ἡμῶν μεσίτας πρὸς τὸν Κύριον.

*Δόξα. Ἦχος α΄.*

Τὴν ἐξάριθμον χορείαν τῶν Ὁσίων, τοὺς ποικίλαις ἀρεταῖς διαπρέψαντας, ἐν ἀμέμπτῳ πολιτείᾳ, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν, πρὸς αυτοὺς βοῶντες· οἱ τῆς Παντοκράτορος Μονῆς, ὁλόφωτοι στῦλοι, καὶ τοῦ ἁγιωνύμου Ὄρους κλεΐσματα, θεοφόροι Πατέρες, ἀγγελικαῖς συνόντες τάξεσι, καὶ θέσει θεούμενοι, μή παύσητε πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων Σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ὅμιλος ἱερός, Πατέρων θεοφόρων, ὑμνείσθω ἐπαξίως, ὡς θεῖαι δαδουχίαι, Μονῆς τοῦ Παντοκράτορος.

*Στ.: Καυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Ἤρθητε πρὸς τὸ φῶς, τῆς θείας ἀπαθείας, ἐξάριθμοι Πατέρες, δι' ἐναρέτων πόνων, καὶ τῷ Θεῷ ἡνώθητε.

*Στ.: Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χάριν παρὰ Θεοῦ, αἰτεῖσθε θεοφόροι, ταύτῃ τῇ θείᾳ Μάνδρᾳ, ἐν ᾗ καὶ τοὺς ἀγῶνας, ὑμῶν πάλαι ἠνύσατε.

*Δόξα. Τριαδικόν.*

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, ὑπέρθεε θεότης, λιταῖς τῶν Σῶν Ὁσίων, οἰκτείρησον τοὺς δούλους Σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Γέρας τὴν Σὴν σεπτήν, Εἰκόνα Θεοτόκε, κατέχουσα Παρθένε, αὕτη ἡ θεία Μάνδρα, Γερόντισσα ἀγάλλεται.

*Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τὸν ἐξάριθμον δῆμον τῶν Ἁγίων τιμήσωμεν, τοὺς φωστῆρας τοὺς θείους τῆς Μονῆς Παντοκράτορος, τριάδα ἱερῶν Ἱεραρχῶν, καὶ τρίστιχον χορείαν Ἀσκητῶν, θείαν χάριν γὰρ αἰτοῦνται πᾶσιν ἡμῖν, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι' ὑμῶν ἡμῖν πταισμάτων ἄφεσιν.

*Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Γρηγόριον μέλψωμεν καὶ Θεωνᾶν τοὺς κλεινούς, ὁμοῦ καὶ τὸν Κάλλιστον, ὡς Ἱεράρχας Χριστοῦ, καὶ θείους θεράποντας· ἅμα σὺν Θεοφίλῳ, τῷ σεπτῷ Μυροβλύτῃ, Γεράσιμον σὺν τῷ θείῳ, καὶ σοφῷ Νικοδήμῳ· Χριστὸν γὰρ ἱκετεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ Σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

*Μετὰ τὸν Προοιμιακόν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τὸν ἐξάριθμον σύλλογον, τῶν Ὁσίων τιμήσωμεν, τοῦ Ἁγίου Πνεύματος τὰ κειμήλια, τοὺς διαφόροις ἐν ἔτεσιν, ὁσίως ἐκλάμψαντας, ὡς ἀστέρας φαεινούς, καὶ Μονὴν τὴν περίβλεπτον, Παντοκράτορος, ἐναρέτοις φαιδρύναντες ἀγῶσι, καὶ χαρίσμασιν ἁγίοις, καὶ ἀρετῶν ἐπιδόσεσι.

Ὁ θεόφρων Γρηγόριος, καὶ ὁ θεῖος Θεόφιλος, Θεωνᾶς καὶ Κάλλιστος καὶ Γεράσιμος, σὺν Νικοδήμῳ ὑμνείσθωσαν, τὰ ἄνθη τὰ εὔοσμα, ἀρετῶν παντοδαπῶν, τὰ δοχεῖα τοῦ Πνεύματος, τὰ πολύτιμα, οἱ τοῦ Ἄθω λαμπτῆρες, καὶ Μονῆς δὲ Παντοκράτορος τῆς θείας, περιφανῆ καλλωπίσματα.

Τῆς σοφίας τοῦ Πνεύματος, μυστογράφος πανάριστος, ἱερὲ Γρηγόριε ἀναδέδειξαι, καὶ Θεωνᾶς σκεῦος εὔχρηστον, τῆς θείας λαμπρότητος, καλλονῆς δὲ ψυχικῆς, Πάτερ Κάλλιστε σκήνωμα, ἱερώτατον· διὰ τοῦτο ποιμένες θεοφόροι, καὶ φωστῆρες Ἐκκλησίας, θεοειδεῖς ἀνεδείχθητε.

Ὡς Θεοῦ φίλος γνήσιος, φερωνύμως Θεόφιλε, εὐωδία γέγονας θείου Πνεύματος, καὶ μύρα εὔοσμα ἔβλυσας, ἡμᾶς κατευφραίνοντα· ἀσκητὴς δὲ θαυμαστός, θεοφόρε Γεράσιμε, ἐχρημάτισας· καὶ διδάσκαλος ὤφθης θεηγόρος, τοῦ Χριστοῦ τῆς Ἐκκλησίας, Πάτερ Νικόδημε Ὅσιε.

Τὴν πηγὴν τὴν ἑξάκρουνον, χαρισμάτων τοῦ Πνεύματος, τῆς ζωῆς βλυστάνουσαν θεῖα νάματα, τὸν παναοίδιμον Κάλλιστον, τὸν μέγα Γρηγόριον, Θεωνᾶν τὸν ἱερόν, καὶ Γεράσιμον μέλψωμεν, καὶ Θεόφιλον, Μυροβλύτην τὸν θεῖον καὶ τὸ στόμα, διδαγμάτων οὐρανίων, τὸν θεηγόρον Νικόδημον.

Ὡς πηγὴν ἁγιάσματος, τὴν ἁγίαν Εἰκόνα Σου, Θεοτόκε Δέσποινα ἡμῖν δέδωκας, ἥτις Γερόντισσα κέκληται, ὡς ἄγρυπνον ἔφορον, τῆς Μονῆς ἡμῶν Ἁγνή, ἧς τῇ χάριτι ἔλαμψαν, βίῳ κρείττονι, οἱ ἐξάριθμοι Ὅσιοι Πατέρες, διαφόροις ὧδε χρόνοις, οὓς ὁμοφώνως γεραίρομεν.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, οἱ ἑξάριθμοι Πατέρες, ὡς ἑξάφωτος λυχνία ἔλλαμψαν, ἐν τῇ ἁγίᾳ αὐτῶν μνήμῃ, καὶ τῷ φωτὶ τῶν ἀρετῶν καταυγάζουσι, τοὺς ἐκβοῶντας αὐτοῖς· χαίρετε Ἱεράρχαι πανθαύμαστοι, Κάλλιστε, Γρηγόριε καὶ Θεωνᾶ, τοῦ

Εὐαγγελίου ἐργάται γνήσιοι, καὶ τῆς εὐσεβείας μυσταγωγοὶ θεόσοφοι· χαίρετε, Ὅσιοι Πατέρες, Θεόφιλε, Γεράσιμε καὶ Νικόδημε, τῆς ἀσκητικῆς πολιτείας στηλογραφίαι ἔμψυχοι· χαίρετε, τοῦ Ἄθω κατάκαρποι φοίνικες, καὶ τῆς τοῦ Παντοκράτορος θείας Μάνδρας, κλεΐσματα ἱερά, καὶ πρὸς τὸν Χριστὸν πρεσβευταὶ ἑτοιμότατοι, ᾧ πρεσβεύσατε δεόμεθα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει Σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Γ΄. 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν

καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ. Ε΄. 15-23 & ΣΤ΄, 1-3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαῖαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέξει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς,καὶ συνέτε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Δ΄. 7-15).*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Ἰδιόμελα τῆς Λιτῆς. Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ, ἡ Παντοκράτορος Μονή, λαμπρυνομένη ταῖς χάρισι, θεοφόρων Ἁγίων· ἐν σοὶ διέπρεψεν, Ἱεραρχῶν θείων τριάς, καὶ ἐν τοῖς ὁρίοις σου, Ὁσίων ἀσκητῶν θεόληπτον σκήνωμα, καιροῖς ἰδίοις ἠγωνίσαντο. Καὶ ἕκαστος, Χριστὸν δοξάσας, εἰς μίαν χορείαν πάντες συνήφθησαν, ὡς ομαίμονες τῷ πνεύματι, καὶ τῆς ἄνω Βασιλείας, κληρονόμοι καὶ πολῖται. Καὶ τοῖς Ἀγγέλοις συναυλιζόμενοι, πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Ἀσκητικὴν πολιτείαν ἑλόμενοι, τῆς κοσμικῆς ἀπάτης ἀπέστητε, οὐρανόφρονι γνώμῃ, Πατέρες μακάριοι. Καὶ ἐν Ἄθῳ σκηνώσαντες, σεαυτοὺς ὁλικῶς ἠρνήσασθε, Ἀγγέλοις ἁμιλλώμενοι, ἀνενδότοις ἀγῶσι, καὶ συντονωτάτῃ ἐγκρατείᾳ. Καὶ τὸν ὧδε χῶρον ἁγιάσαντες, τοῖς Ὁσίοις ἱδρῶσι καὶ

σκάμμασι, τῇ τοῦ Παντοκράτορος ἁγίᾳ Μάνδρᾳ, τύποι ὤφθητε ἀρετῶν καὶ ἐναρέτων πράξεων κανόνες. Διὸ ὑμᾶς ἐν μιᾷ ἡμέρᾳ τιμῶσα, συμφώνως κραυγάζει· παῤῥησίαν ἔχοντες πρὸς Κύριον, θεοφόρε ὅμιλε, μὴ παύσησθε πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Ὅσιοι Πατέρες, καὶ Ἱεράρχαι θεόσοφοι, τοῦ Ἁγίου Πνεύματος οἰκητήρια, καὶ τῆς Παντοκράτορος Μονῆς, πολιοῦχοι καὶ προστάται καὶ ἔφοροι· ἡ ἀγγελικὴ ὑμῶν ζωή, ὑπὲρ ἡλιακὰς ἀκτίνας ἔλαμψεν, ἐν διαφόροις καιροῖς, τῶν μοναστῶν τὰς καρδίας, πρὸς τὰ κρείττονα παιδεύουσα· ὡς γὰρ ξένοι καὶ πάροικοι, ἐν τῷ παρόντι κόσμῳ ὤφθητε, τὰ ἄνω ποθοῦντες καὶ ζητοῦντες ὁλοτρόπῳ ἐφέσει· ὧν νῦν τυχόντες, καὶ τὸν καρπὸν τῆς θεώσεως δρεπόμενοι, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ημῶν.

*Ἦχος δ΄.*

Τῶν παθῶν νεκρώσαντες το φρόνημα, τῆς αἰωνίου ζωῆς τὴν λαμπρότητα ἐγεωργήσατε, τῷ τῆς ἀσκήσεως ἀρότρῳ, ἐξάριθμοι Ὅσιοι Πατέρες, θεοπρεπῶς ἐνταῦθα ἀγωνισάμενοι. Καὶ οὐρανίων ἐπάθλων τυχόντες, πρὸς ἀρετῶν ἐπιδόσεις ἡμᾶς ὁδηγεῖτε, τῷ ἱερῷ ὑμῶν ὑποδείγματι. Διὸ ἡμᾶς ὁμοῦ μακαρίζοντες βοῶμεν· χαίρετε κλήματα κατάκαρπα τῆς νοητῆς ἀμπέλου, παρέχοντα ἡμῖν τὸν γλυκασμὸν τῆς θείας χάριτος.

*Δόξα. Ὁ αὐτός.*

Τῶν θεοφόρων Ἀσκητῶν τὸ σύστημα, καὶ τῶν σοφῶν Ἱεραρχῶν τὴν χορείαν, ὡς τοῦ Κυρίου θεράποντας, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν. Οὗτοι γάρ, Θεῷ εὐαρεστήσαντες, ἀρετῆς ἁγίας τοῖς εἴδεσι, ὑποφῆται τῆς χάριτος ὤφθησαν, καὶ παιδευταὶ ὁσίου βίου, καὶ ποδηγέται ἡμῶν πρακτικώτατοι, ὡς τῆς Παντοκράτορος Μονῆς, οὐρανόφωτοι στύλοι. Αὐτὴν

γὰρ ἀεὶ περιέπουσι, καὶ πρεσβεύουσι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ἡ τῶν Ὁσίων ἑξάς, οἱ τὰ τοῦ κόσμου νουνεχῶς ἀρνησάμενοι, καὶ ἄσαρκον πολιτείαν, μετὰ σαρκὸς ἀληθῶς, ἐν τῷδε τῷ χώρῳ διανύσαντες· Γρηγόριε πάνσοφε, Θεωνᾶ τε καὶ Κάλλιστε, σὺν Γερασίμῳ, θεηγόρε Νικόδημε, καὶ Θεόφιλε, Μυροβλύτα μακάριε· ἄνθη τὰ εὐωδέστατα, Μονῆς Παντοκράτορος, τὰ διαπνέοντα κόσμῳ, τὴν εὐωδίαν τὴν κρείττονα· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Στ.: Καυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις, ἡ τῶν Ὁσίων ἑξάς, τῆς ἐναρέτου πολιτείας οἱ φοίνικες, ἀσκήσεως οἱ κανόνες, τῆς ἀπαθείας πυρσοί, φρυκτωροῦντες πάντας θείαις πράξεσι· φωστῆρες πολύφωτοι, δωρεῶν τῶν τοῦ Πνεύματος, δογμάτων θείων, ὑποφῆται καὶ σάλπιγγες, ὡς τῆς χάριτος, κεκτημένοι τὴν ἔλλαμψιν· λύχνοι φωτοειδέστατοι, Μονῆς Παντοκράτορος, πάντος τοῦ Ὄρους τοῦ Ἄθω, φωταγωγοὶ βίῳ κρείττονι· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Στ.: Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, ὁ τῶν Ἁγίων χορός, ἡ ἑξαστέλεχος ἁγία συνέλευσις, Γρηγόριε θεηγόρε, καὶ Θεωνᾶ θαυμαστέ, καὶ Κάλλιστε Πάτερ ἱερώτατε· ποιμένες θεόσοφοι, Ἐκκλησίας

καὶ πρόβολοι, σὺν Νικοδήμῳ, θεοφόρε Γεράσιμε, καὶ Θεόφιλε, Μυροβλύτα μακάριε· ὅθεν ἡ Παντοκράτορος, Μονὴ ὑμᾶς σήμερον, ὁμοῦ συμφώνως γεραίρει, καὶ ἐκβοᾷ μετὰ πίστεως· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῷ πυρὶ τῆς ἀσκήσεως, οἱάπερ ἄνθρακες νοητοί, τῶν παθῶν τὴν ὕλην ἐφλέξατε, θεοφόροι Πατέρες ἐξάριθμοι. Καὶ τοῦ Παρακλήτου δεξάμενοι τὴν ἔλλαμψιν, φωστῆρες ὤφθητε πολύφωτοι, καὶ Ὀρθοδόξων ὁδηγοί, καὶ μοναστῶν ἀλεῖπται, καὶ εἰκόνες πάσης ἀρετῆς· καὶ νῦν τῆς Τριάδος ταῖς λαμπηδόσιν, ἀμέσως καταλαμπόμενοι, αἰτήσασθε τὸν θεῖον φωτισμόν, τοῖς τιμῶσιν ὑμῶν τὴν συνέλευσιν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, Σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τὸν ἐξάριθμον δῆμον τῶν Ἁγίων τιμήσωμεν, τοὺς φωστῆρας τοὺς θείους τῆς Μονῆς Παντοκράτορος, τριάδα ἱερῶν Ἱεραρχῶν, καὶ τρίστιχον χορείαν Ἀσκητῶν, θείαν χάριν γὰρ αἰτοῦνται πᾶσιν ἡμῖν, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι' ὑμῶν ἡμῖν πταισμάτων ἄφεσιν.

*Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Γρηγόριον μέλψωμεν καὶ Θεωνᾶν τοὺς κλεινούς, ὁμοῦ καὶ τὸν Κάλλιστον, ὡς Ἱεράρχας Χριστοῦ, καὶ θείους

θεράποντας· ἅμα σὺν Θεοφίλῳ, τῷ σεπτῷ Μυροβλύτῃ, Γεράσιμον σὺν τῷ θείῳ, καὶ σοφῷ Νικοδήμῳ· Χριστὸν γὰρ ἱκετεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ Σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι’ οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ἑξάστερος χορός, τῶν Ὁσίων Πατέρων, ὑμνείσθω παρ’ ἡμῶν, συμφωνία ᾀσμάτων· ἐν χρόνοις διαφόροις γάρ, ἱερῶς διαπρέψαντες, Παντοκράτορος, φωταγωγοῦσι τὴν Μάνδραν, καὶ λαμπρύνουσι, τῶν μοναστῶν τὰς καρδίας, τοῖς θείοις πυρσεύμασι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν θείαν Σου μορφήν, ἐν Εἰκόνι ὁρῶντες, προσπίπτομεν αὐτῇ, καὶ πιστῶς Σοι βοῶμεν· πανύμνητε Γερόντισσα, Θεοτόκε Πανάχραντε, ταύτην φύλαττε, τὴν Ἱερὰν Μονὴν Κόρη, τῇ Σῇ χάριτι, ἐπιβουλῶν ὀλεθρίων, καὶ πάσης στενώσεως.

*Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Βίον ἰσάγγελον, καλῶς ἀνύσαντες, Πατέρες Ὅσιοι, δόξης ἐτύχετε, ἀγγελικῆς ἐν οὐρανοῖς, τελέσαντες τὸν ἀγῶνα· ὅθεν

ὑμᾶς σήμερον, ὁμοφώνως γεραίρομεν, καὶ πανηγυρίζουσα, ἡ Μονὴ Παντοκράτορος, κραυγάζει εὐχαρίστῳ καρδίᾳ· χαῖρε ἐξάριθμε χορεία.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Φωνῇ τῇ θείᾳ Σου, ἐκ τῆς Εἰκόνος Σου, Κόρη ἐπέταξας, τελέσαι τάχιστα, τὸν μοναχὸν τὴν ἱεράν, καὶ θείαν διακονίαν· ἔνθεν καὶ κατάλληλον, κλῆσιν ὄντως δεδώκαμε, τῇ σεπτῇ Εἰκόνι Σου, ᾗ πιστῶς παριστάμενοι, βοῶμεν εὐχαρίστῳ καρδίᾳ· χαῖρε Γερόντισσα Παρθένε.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὸ ἐξάριθμον στῖφος καὶ ἱερόν, τῶν Ὁσίων Πατέρων τῶν θαυμαστῶν, συμφώνως ὑμνήσωμεν· Θεωνᾶν καὶ Γρηγόριον, καὶ Κάλλιστον τὸν θεῖον, ὁμοῦ καὶ Θεόφιλον, Γεράσιμον συνάμα, καὶ θεῖον Νικόδημον· οὗτοι γὰρ ὁσίως, καὶ ἀμέμπτως ἐνταῦθα, τὸν βίον ἐτέλεσαν, καὶ στεῤῥῶς ἠγωνίσαντο, οἷς ἐν πίστει βοήσωμεν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐφημοῦσι συμφώνως, ὑμᾶς παμμακάριστοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐν τῷ φρέατι ἔῤῥιπται ἀσεβῶς, ἐκ χειρὸς παρανόμου ἡ Σὴ Εἰκών, ἐν ᾧ καὶ διέμεινε, πλείστους χρόνους ἀλώβητος, τῇ χάριτί Σου Κόρη, καὶ αὖθις δεδώρηται, ἡμῖν τοῖς Σοῖς ἱκέταις, ὡς θεῖον κειμήλιον, ᾗπερ προσιόντες, εὐλαβῶς καθ' ἑκάστην, ἐκ ταύτης λαμβάνομεν, πᾶν σωτήριον αἴτημα, καὶ πιστῶς ἐκβοῶμέν Σοι· πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, Παναγία Δέσποινα Γερόντισσα, ἡμῖν πᾶσι διδόναι, εἰρήνην καὶ ἴασιν.

*Οἱ Ἀναβαθμοί, τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.*

*Προκείμενον:* *Καυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

*Στ.:* *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις Αὐτοῦ ἐν Ἐκκλησίᾳ Ὁσίων.*

*Εὐαγγέλιον Ὁσιακόν. Ἐκ τοῦ κατὰ Ματθαῖον:* *Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη...* *Ζήτει τῇ Ε΄ Δεκεμβρίου.*

*Ὁ Ν΄ Ψαλμός.*

*Δόξα.* Ταῖς τῶν Σῶν Ὁσίων...

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου...

*Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.:* *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ὅσιοι Πατέρες, τῷ πολυειδεῖ τῆς ἀσκήσεως ἀγῶνι, πολλῶν χαρισμάτων, παρὰ Θεοῦ ἠξιώθητε, ἀνακαθάραντες τὸν νοῦν τῆς τῶν παθῶν ἀχλύος. Καὶ πᾶσι μοναστaῖς, τύποι καὶ διδάσκαλοι ὀφθέντες, τῶν αἰωνίων ἀγαθῶν μέτοχοι γεγόνατε, θεοπρεπῶς τελέσαντες τὸν δρόμον. Καὶ νῦν ἀνακεκαλυμμένως ὁρῶντες Χριστοῦ τὴν δόξαν, ἀδιαλείπτως πρεσβεύετε, σωθῆναι τοὺς ὑμᾶς μακαρίζοντας.

*Εἶτα οἱ Κανόνες· τῆς Παναγίας τῆς Γεροντίσσης καὶ τῶν Ἁγίων.*

*Ὁ Κανὼν τῆς Παναγίας, οὗ ἡ ἀκροστιχίς:* *Τῇ Γεροντίσσῃ Παρθένῳ ᾆσμα. Γερασίμου.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Τὴν θείαν Εἰκόνα Σου καὶ σεπτήν, πλουτοῦσα Παρθένε, Παντοκράτορος ἡ Μονή, ταύτῃ παρεστῶσα ἐκβοᾷ Σοι· χαῖρε ἡμῶν Θεοτόκε Γερόντισσα.

Ἡγίασται Κόρη ἡ Σὴ Εἰκών, ἐν ᾗ καθορῶμεν, τὴν μορφήν Σου τὴν ἱλαράν, ἥνπερ καὶ Γερόντισσαν καλοῦμεν, ὡς προεστῶσαν ἡμῶν καὶ ἀντίληψιν.

Γερόντισσα κέκλησαι ἀληθῶς, Κεχαριτωμένη, Παντοκράτορος τῆς Μονῆς, λαβοῦσα τὸ ὄνομα προσφόρως, καὶ βεβαιοῦσα αὐτὸ ἐν τοῖς πράγμασιν.

Ἐτέχθη αἱμάτων Σου ἐξ ἁγνῶν, ὁ πάντων Δεσπότης, καὶ διέσωσε τὸν Ἀδάμ, ᾧ πρέσβευε Κόρη οἷα Μήτηρ, κατοικτειρῆσαι κἀμὲ τὸν ἀνάξιον.

*Ὁ Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς:* *Τοὺς ἐξαρίθμους ὑμνῶ Ὁσίους.*

*Ὠδὴ α΄. Ἦχος ὁ αὐτός. Ἁρματηλάτην Φαραώ.*

Τῆς Τρισηλίου καὶ μιᾶς θεότητος οἷα θεράποντας, Ὅσιοι Πατέρες, τῷ φωτὶ λαμπόμενοι, τὸν νοῦν μου καταυγάσατε, ταῖς ὑμῶν ἱκεσίαις, ὅπως ὑμνήσω ἐν ᾄσμασιν, ὑμῶν τὴν ἁγίαν συνέλευσιν.

Οἱ ἐν ἀσκήσει ἱερᾷ ἐκλάμψαντες, καὶ πολιτείᾳ λαμπρᾷ, διαφόροις χρόνοις, Πατέρες οἱ ἔνθεοι, Μονῇ τοῦ Παντοκράτορος, παρ’ ἡμῶν κατὰ χρέος, μιᾷ ἡμέρᾳ ὑμνήσθωσαν, ὡς ἡμῶν μεσῖται πρὸς Κύριον.

Ὕμνοις τιμάσθω ὁ σοφὸς Γρηγόριος, καὶ Θεωνᾶς ὁ κλεινός, τῆς Θεσσαλονίκης, πρόεδροι περίδοξοι, ὁ Βυζαντίου Κάλλιστος, καὶ Θεόφιλος ἅμα, καὶ ὁ θεόφρων Νικόδημος, σὺν τῷ Γερασίμῳ τῷ μάκαρι.

*Θεοτοκίον.*

Σεσαρκωμένον ἐξ ἁγνῶν αἱμάτων Σου, Λόγον τὸν ἄσαρκον, ἀπερινοήτως, μὴ τραπέντα τέτοκας, δι’ ἄκραν ἀγαθότητα, Θεοτόκε Παρθένε, Ὃν ἐκτενῶς καθικέτευε, σῴζεσθαι τοὺς Σὲ μεγαλύνοντας.

*Ὠδὴ γ΄. Τῆς Θεοτόκου. Οὐρανίας ἁψῖδος.*

Ῥῦσαι πάσης ἀνάγκης καὶ πειρασμῶν Ἄχραντε, ταύτην τὴν ἁγίαν Σου ποίμνην, τὸ Σὸν ἐκτύπωμα, μέγα

προπύργιον, τὸ ἱερὸν κεκτημένην, καὶ ἐκδεχομένην σου, τὴν χάριν ἄνωθεν.

Ὁ βραδέως τὸ θεῖον ἔργον τελῶν Ἄχραντε, τῇ ἐκ τῆς σεπτῆς Σου Εἰκόνος, φωνῇ ἐντέταλται, τοῦτο τελέσαι σπουδῇ, ὅθεν Γερόντισσα ταύτης, τῆς Μονῆς ὠνόμασαι, τῇ Σῇ χρηστότητι.

Νοῦν θεόφρονα δίδου καὶ λογισμὸν σύντονον, ἐν τῇ ἐργασίᾳ τοῦ θείου, Ἁγνὴ θελήματος, τοῖς καταφεύγουσι, τῇ Ἱερᾷ Σου Εἰκόνι, καὶ τὰ μεγαλεῖά Σου, πίστει δοξάζουσι.

Τῇ σεπτῇ Σου Εἰκόνι ὁ τῆς Μονῆς πρόεδρος, πάλαι προσπεσὼν καὶ αἰτήσας, ἔλαιον Ἄχραντε, τούτου εἰσήκουσας, καὶ ἐπληρώθη ὁ πόθος, οὗπερ ἐξητήσατο, εἰς πάντων ἔκπληξιν.

*Ἕτερος. Τῶν Ἁγίων. Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Ἐπὶ τῶν ὤμων τὸν Σταυρόν, ἀράμενοι τοῦ Σωτῆρος, ἐσταυρώθητε τῷ κόσμῳ ἐμφρόνως, καὶ ζωὴν ἀσκητικήν, ἐν Ἄθω διηνύσατε ἐξάριθμοι Πατέρες, τῶν Ἀσωμάτων ἐφάμιλλοι.

Ξένοι τοῦ κόσμου τῶν τερπνῶν, γενόμενοι θεοφρόνως, ᾠκειώθητε Χριστῷ τῷ Σωτῆρι, καὶ ποιμένες θαυμαστοί, Γρηγόριε καὶ Κάλλιστε, καὶ Θεωνᾶ θεόφρον, τῆς Ἐκκλησίας ἐδείχθητε.

Ἀρωματίζεις νοητῶς, τοῖς μύροις τῆς χάριτός σου, ὦ Θεόφιλε ἡμῶν τὰς καρδίας, καὶ ῥυθμίζετε σοφῶς, Νικόδημε πολύσοφε, ὁμοῦ σὺν Γερασίμῳ, πρὸς ἀρετῶν τὴν ἐπίδοσιν.

*Θεοτοκίον.*

Ῥάβδος καθάπερ μυστική, ὡς Ἡσαΐας προέφη, ὥσπερ ἄνθος τῆς ζωῆς ἀποτίστως, τὸν Δεσπότην τοῦ παντός, ἐβλάστησας Πανάχραντε, ἡμᾶς ζωοποιοῦντα, τοὺς νεκρωθέντας τοῖς πταίσμασι.

*Κάθισμα τῶν Ἁγίων. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τὸν ἐξάριθμον δῆμον καὶ θεοδόξαστον, τὸν ἐκλάμψαντα ὧδε ἀσκητικαῖς ἀρεταῖς, διαφόροις ἐν καιροῖς ἀνευφημήσωμεν, ἐκβοῶντες πρὸς αὐτούς· ὡς θεράποντες Χριστοῦ, καὶ μύσται τῶν ἀποῤῥήτων, διὰ παντὸς δυσωπεῖτε, ὑπὲρ ἡμῶν Πατέρες Ὅσιοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον. Τῆς Γεροντίσσης.*

Ὡς Γερόντισσα ταύτης Ἁγνὴ τῆς μάνδρας Σου, διὰ παντὸς προννοοῦσα, καὶ προστατεύουσα, μὴ ἐλλίπῃ συμπαθῶς ἡμῶν δεόμεθα, τῶν ὡς ἐχέγγυον σεπτόν, τῆς θερμῆς Σου ἀρωγῆς, Εἰκόνα Σου τὴν Ἁγίαν, τὴν φερωνύμως κληθεῖσαν, προσκεκτημένων ἀσφαλέστατα.

*ᾨδὴ δ΄. Τῆς Θεοτόκου. Εἰσακήκοα Κύριε.*

Ἱλασμὸν ἡμῖν αἴτησαι, καὶ πλημμελημάτων τὴν ἀπολύτρωσιν, Θεοτόκε ἀειπάρθενε, τοῖς θερμῶς τῇ σκέπῃ Σου προστρέχουσι.

Σὲ προστάτην καὶ ἔφορον, ἡ Μονὴ κατέχουσα Παντοκράτορος, χαριστήρια ἐφύμνια, Κόρη κατὰ χρέος ἀναμέλπει Σοι.

Σαρκωθεὶς ἐξ αἱμάτων Σου, ὁ τὸ εἶναι πᾶσι διδοὺς Πανάχραντε, διασώζει ταῖς πρεσβείαις, τοὺς εἰλικρινῶς Σὲ μεγαλύνοντας.

Ἡ σεπτή σου ἐμφέρεια, ἡμῖν ὑπεμφαίνει τὴν τοῦ προσώπου Σου, ἱλαρότητα Γερόντισσα, καὶ τῶν οἰκτιρμῶν Σου τὴν διάδοσιν.

*Τῶν Ἁγίων. Σύ μου ἰσχύς.*

Ἱεραρχῶν, κλέος ἐδείχθης Γρηγόριε, ὡς σοφίας, θείας ἐνδιαίτημα, καὶ Ἐκκλησίας μέγας φωστήρ, Ὅσιος ποιμὴν

δέ, ὦ Θεωνᾶ θεοφόρητε, πρὸς κάλλος δὲ τὸ θεῖον, τῆς Χριστοῦ Βασιλείας, κατευθύνεις ἡμᾶς Πάτερ Κάλλιστε.

Θείῳ φωτί, καταυγασθεὶς τὴν διάνοιαν, καὶ καθάρας, νοῦν καὶ τὴν καρδίαν σου, τῆς ἀπαθείας ὤφθης λειμών, καὶ μύρα εὐώδη, μετὰ τὸ τέλος ἀνέβλυσας, Θεόφιλε παμμάκαρ, κατευφραίνοντα πάντας, εὐωδίᾳ τῇ θείᾳ τοῦ Πνεύματος.

Μέγας ἡμῖν, ταῖς ἀρεταῖς ἐχρημάτισας, θεοφόρε Ὅσιε Γεράσιμε, κατὰ δαιμόνων χάριν λαβών, ἐξαίρετον Πάτερ, καὶ ὑποφήτης θεόσοφος, ζωῆς καθαρωτάτης, διὰ λόγου καὶ βίου, ἀνεδείχθης παμμάκαρ Νικόλαε.

*Θεοτοκίον.*

Ὅλος ἐν Σοί, ὁ Θεὸς Λόγος ἐσκήνωσε, Θεοτόκε, Κόρη Ἀειπάρθενε, τοὺς πατρικοὺς κόλπους μὴ λιπών, καὶ ἐκ Σοῦ ἐτέχθη, Θεὸς ὁμοῦ τε καὶ ἄνθρωπος, καὶ σώζει τῆς ἀρχαίας, τοὺς βοῶντας κατάρας· τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

*ᾨδὴ ε΄. Τῆς Θεοτόκου. Φώτισον ἡμᾶς.*

Πύργος ἀσφαλής, προστασία Κόρη γένοιτο, τῆς Εἰκόνος Σου ἡ χάρις ἀληθῶς, τῇ παρούσῃ ἡμῶν Μάνδρα ἀειπάρθενε.

Ἄνθρακας παθῶν, καὶ ποικίλων περιστάσεων, τῆς εὐνοίας Σου ἡ ἔκφανσις ἡμῖν, κατασβέννυσι Γερόντισσα ἑκάστοτε.

Ῥείθροις νοητοῖς, τῆς χρηστότητός Σου Δέσποινα, τὰς καρδίας ἡμῶν ἄρδευσον ἁγνή, πρὸς ζωῆς καρποφορίαν τὴν οὐράνιον.

Θαύμασι σεπτοῖς, ἡ Εἰκών Σου ἡ ὑπέρτιμος, ἐδοξάσθη Θεοτόκε ἀληθῶς, τὴν Μονὴν τοῦ Παντοκράτορος εὐφραίνουσα.

*Ἕτερος. Τῶν Ἁγίων. Ἵνα τί με ἀπώσω;*

Ὑποφῆται Κυρίου, καὶ Ὀρθοδοξίας διδάσκαλοι ἔνθεοι, Γρηγόριε πάτερ, Θεωνᾶ καὶ θεόληπτε Κάλλιστε, ὤφθητε ἐν

κόσμῳ, τὴν Ἐκκλησίαν τοῦ Σωτῆρος, ἀληθείας στηρίζοντες δόγμασι.

Σαρκικῶν βαρημάτων, ὄγκον ἀποθέμενοι πόνοις ἀσκήσεως, σὺν τῷ Θεοφίλῳ, ὁ Γεράσιμος καὶ ὁ Νικόδημος, ἤρθησιν πρὸς ὕψος, θεωριῶν τῶν θειοτάτων, καὶ Θεῷ ἐν μεθέξει ἡνώθησαν.

Ὑπελθόντες προθύμως, τοὺς ἀγῶνας Ὅσιοι τοὺς τῆς ἀθλήσεως, ἐν καιροῖς ἰδίοις, ἐν Μονῇ τῇ σεπτῇ Παντοκράτορος, καὶ ἐν τοῖς ὁρίοις, αὐτῆς τῆς ἄνω Βασιλείας, κληρονόμοι ἀξίως γεγόνατε.

*Θεοτοκίον.*

Μητροπάρθενε Κόρη, ἡ τὸν ὑπερούσιον Λόγον κυήσασα, κάθαρον τὸν νοῦν μου, σπιλωθέντα πολλοῖς ἁμαρτήμασι, ῥείθροις Σοῦ ἐλέους, καὶ μετανοίας με πρὸς τρίβον, ἀσφαλῶς καθοδήγησον δέομαι.

*ᾨδὴ στ΄. Τῆς Θεοτόκου. Τὴν δέησιν.*

Ἐῤῥίφθη, ὑπὸ χειρῶν παρανόμων, ἐν τῷ φρέατι ἡ Εἰκών σου, ἀλλ᾽ ἀβλαβὴς ἐν αὐτῷ παραδόξως, τῇ θαυμαστῇ Σου προνοίᾳ τετήρηται, καὶ δέδοται αὖθις Ἁγνή, τῇ Μονῇ Σου ὡς μέγα θησαύρισμα.

Νοῆσαι, τῆς πρὸς ἡμᾶς Σου προνοίας, τὰς πολλὰς εὐεργεσίας Παρθένε, δι᾽ ὧν διέπεις καὶ τρέφεις καὶ θάλπεις, τήνδε τὴν Μάνδραν μηδόλως δυνάμενοι, προσπίπτομεν πανευλαβῶς, τῇ σεπτῇ Σου Εἰκόνι Γερόντισσα.

Ὡς ἤκουσε, τῆς ἁγίας φωνῆς Σου, ἐν σπουδῇ τὴν ἱερὰν Λειτουργίαν, ὁ Ἱερεὺς διεξήγαγε Κόρη, καὶ τῶν σεπτῶν Μυστηρίων μετέδωκε, τῷ μέλλοντι ἐκ τῆς φθορᾶς, πρὸς ζωὴν ἀπελθεῖν τὴν ἀθάνατον.

Ἁγίων, ἁγιωτέρα ὑπάρχεις, ἀσυγκρίτως Θεοτόκε Παρθένε, ὡς τὸν πανάγιον Λόγον τεκοῦσα, τὸν ἁγιάζοντα τοὺς

μεγαλύνοντας, τὰ μεγαλεῖά Σου Ἁγνή, καὶ θαυμάτων τὸ μέγεθος Δέσποινα.

*Ἕτερος. Τῶν Ἁγίων. Ἱλάσθητί μοι Σωτήρ.*

Ναμάτων τῶν μυστικῶν, τοῦ Παρακλήτου πληρούμενοι, πηγάζετε τοῖς ἐν γῇ, ὕδωρ τὸ ἀλλόμενον, εἰς ζωὴν αἰώνιον, Γρηγόριε Πάτερ, Θεωνᾶ καὶ θεῖε Κάλλιστε.

Ὡς εὐωδία Χριστοῦ, τῇ καθαρᾷ πολιτείᾳ σου, εὐωδιάζεις ἡμᾶς, τοῖς ἁγίοις μύροις σου, Θεόφιλε Ὅσιε, καὶ παθῶν διώκεις, τὸ δυσώδες θείᾳ χάριτι.

Οἱ τοῦ ἀδύτου φωτός, λύχνοι οἱ ὄντως πολύφωτοι,ὑμνείσθωσαν ἱερῶς, ὁ θεῖος Γεράσιμος, ὁμοῦ καὶ Νικόδημος, ὁ παρέχων νίκην ἡμῖν κατὰ τοῦ ἀλάστορος.

*Θεοτοκίον.*

Σκέπη ὑπάρχεις στεῤῥά, καὶ ἀσφαλὲς καταφύγιον, τοῦ Ἄθω ὡς ἀληθῶς, Παρθένε πανύμνητε, διὸ τοῦτον φύλαττε, ἐκ πειρατηρίων χαλεπῶν καὶ περιστάσεων.

*Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοῦ Παντοκράτορος Μονὴ ἡ Ἁγία, ἀγαλλιᾶται ὁμοφώνως τιμῶσα, τοὺς ἐν αὐτῇ ὁσίως διαλάμψαντας, τῶν Ἀρχιερέων μέν, τὸν τριστέλεχον δῆμον, καὶ χορὸν τρισάριθμον, Ἀσκητῶν θεοφόρων, καὶ ἀνυμνοῦσα τούτους ἐκβοᾷ· *χαίροις Ὁσίων, χορεία ἑξάριθμε.*

*Ὁ Οἶκος.*

Τῶν Ἁγίων χορὸν τὸν ὑπέρτιμον, ὁμοφώνως τιμήσωμεν σήμερον. Τοὺς καιροῖς ἐν ἰδίοις ἐκλάμψαντας, ἐν Μονῇ τῇ σεπτῇ Παντοκράτορος, πολιτείᾳ ἱερᾷ καὶ ἀρεταῖς παντοδαπαῖς, καὶ σοφίᾳ δαψιλεῖ καὶ θεοπνεύστῳ· Κάλλιστον, τὸν τῆς Βυζαντίδος ποιμένα· Γρηγόριον καὶ

Θεωνᾶν, Θεσσαλονικέων τοὺς φωστῆρας· Θεόφιλον, τὸν ἐν μύροις δοξασθέντα· καὶ Γεράσιμον τὸν θαυμαστόν· καὶ Νικόδημον τὸν πολύσοφον. Οὗτοι γάρ, ἔξω τοῦ κόσμου καὶ σαρκὸς βιωσάμενοι, πολλοῖς χαρίσμασι παρὰ Θεοῦ ἐτιμήθησαν, καὶ ὁδηγοὶ καὶ μυσταγωγοὶ πρὸς τὰ κρείττονα, ἀληθῶς χρηματίζουσα, τῶν ἐκβοώντων πρὸς αὐτούς· *χαίροις Ὁσίων, χορεία ἐξάριθμε.*

*Συναξάριον.*

Τῇ ΙΕ' τοῦ αὐτοῦ μηνός, μνήμην ἐπιτελοῦμεν τῶν ἐν τῇ κατὰ τοῦ Ἄθω Ἱερᾷ Μονῇ τοῦ Παντοκράτορος διαλαμψάντων Ἁγίων· Ἱεραρχῶν τριών, Καλλίστου Πατριάρχου Κωνσταντινουπόλεως, Γρηγορίου τοῦ Παλαμᾶ καὶ Θεωνᾶ Ἀρχιεπισκόπων Θεσσαλονίκης· καὶ Ὁσίων, ἐπίσης τριῶν, Θεοφίλου τοῦ Μυροβλήτου, Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ, καὶ Νικοδήμου τοῦ Ἁγιορείτου.

*Ἐξάριθμον σύστημα σεπτῶν Πατέρων,*
*Ζωῆς Ἁγίας ἐκφαίνει τὰς ἐλλάμψεις.*
*Πέμπτῃ καὶ δεκάτῃ θεουδῆ ὁμήγυριν χρέων ὕδειν.*

*Ταῖς τῶν Ἁγίων Σου πρεσβείαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Ἀμήν.*

*ᾨδὴ ζ'. Τῆς Θεοτόκου. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Σωτηρίας λιμένα τὴν σεπτήν Σου Εἰκόνα Κόρη πλουτήσαντες, κυμάτων τῶν τοῦ βίου, τῇ ταύτης προμηθείᾳ, ἐκβοῶντες λυτρούμεθα· Σὺ εἶ Παρθένε ἡμῶν, Γερόντισσα καὶ Σκέπη.

Μετὰ πίστεως πάλαι, προσπεσὼν ὁ Ἡγούμενος τῇ Εἰκόνι Σου, ἐλαίου χορηγίαν, ἀπείληφε πλουσίαν, καὶ βοῶν Σοι ἐκραύγαζε· Σὺ εἶ Παρθένε ἡμῶν, Γερόντισσα καὶ Σκέπη.

Ἀειπάρθενε Κόρη, τῆς Μονῆς Παντοκράτορος θεῖον στήριγμα, τῷ φόβῳ τοῦ Κυρίου, στήριξον τὰς καρδίας, τῶν πιστῶς ἐκβοώντων Σοι· Σὺ εἶ Παρθένε ἡμῶν, Γερόντισσα καὶ Σκέπη.

Γεωργεῖν Θεοτόκε, ἀρετῶν ἡμῖν δίδου δύναμιν ἄνωθεν, τοῖς πίστει προσιοῦσι, τῇ θείᾳ Σου Εἰκόνι, καὶ βοῶσιν ἑκάστοτε· Σὺ εἶ Παρθένε ἡμῶν, Γερόντισσα καὶ Σκέπη.

*Ἕτερος. Τῶν Ἁγίων. Παῖδες Ἑβραίων.*

Ἴσχυσαν σθένει Σου τῷ θείῳ, οἱ ἐξάριθμοι θεράποντές Σου Λόγε, μυριάδας ἑλεῖν, ἐχθρῶν τῶν ἀοράτων, ὧν ταῖς πρεσβείαις Κύριε, φρούρει ταύτην Σου τὴν Μάνδραν.

Ὅλως φωτὶ τοῦ Παρακλήτου, λαμπρυνόμενος Γρηγόριος ὁ μέγας, τοῦ ἀκτίστου φωτός, κήρυξ λαμπρὸς ἐφάνη, δοκησισόφων στόματα, θείοις δόγμασιν ἐμφράξας.

Ὕμνοις Θεόφιλον τὸν θεῖον, καὶ τὸν Κάλλιστον ὁμοῦ σὺν Γερασίμῳ, καὶ Νικόδημον νῦν, τὸν ἐκ τῆς Νάξου μέλπω, Μονῆς τοῦ Παντοκράτορος, καλλωπίσματα τὰ θεῖα.

*Θεοτοκίον.*

Σάρκα λαβὼν ἐκ Σοῦ Παρθένε, ὁ ὑπέρθεος ἀτρέπτως καὶ ἀφύρτως, τῆς ἀρχαίας ἀρᾶς, λυτροῦται τοὺς βοῶντας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

*ᾨδὴ η΄. Τῆς Θεοτόκου. Τὸν Βασιλέα.*

Ἔχει Παρθένε, ἡ Παντοκράτορος Μάνδρα, τὴν Εἰκόνα Σου ἁγίασμα ὡς θεῖον, ὅθεν καὶ προσπίπτει, αὐτῇ μετ᾽ εὐλαβείας.

Ῥῶσιν καὶ χάριν, ἡ Σὴ Γερόντισσα βρύει, πανυπέρτιμος Εἰκὼν καὶ παναγία, ταύτῃ Σου τῇ ποίμνῃ, πιστῶς Σοι προσκειμένῃ.

Ἀγαλλιᾶται, ἡ Παντοκράτορος Μάνδρα, τῇ Εἰκόνι Σου Γερόντισσα τῇ θείᾳ, ᾗ καὶ προσιοῦσα, πληροῦται εὐφροσύνης.

Σώματος πάθη, καὶ τῆς ψυχῆς τὰς ὀδύνας, ἡμῶν ἴασαι Γερόντισσα Παρθένε, τῶν ὑπερυψούντων, τὸν ἄφραστόν Σου Τόκον.

*Ἕτερος. Τῶν Ἁγίων. Ἑπταπλασίως κάμινον.*

Γέρας καὶ θεῖον καύχημα, ἡ Μονὴ Παντοκράτορος, καὶ θερμοὺς μεσίτας ἔχουσα πρὸς Κύριον, Πατέρες ἐξάριθμοι, ὑμᾶς γεραίρει, σήμερον ᾄσμασι κοινοῖς, καὶ ὁμοφώνως κραυγάζει· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐν τοῖς ἁγίοις μύροις σου, Μυροβλύτα Θεόφιλε, εὔφρανον ἀΰλως ἡμῶν τὴν διάνοιαν· νικῆσαι δὲ δύναμιν, δίδου ἡμῖν Νικόδημε, τοῦ ἐχθροῦ τὸ θράσος· καὶ τῆς τούτου μανίας, Γεράσιμε παμμάκαρ, ἀπάλλαξον ὡς ἔχων, μεγίστην ἐξουσίαν, κατὰ τοῦ βροτοκτόνου.

Ῥήτωρ θεοειδέστατος, ἀνεδείχθης Γρηγόριε, τῆς Ὀρθοδοξίας, ὡς φωτὸς ἀνάπλεως· ὁσίως ποιμένεις δέ, Κάλλιστε ἱερώτατε, τὴν τοῦ Κωνσταντίνου βασιλεύουσαν πόλιν· χαρὰν δὲ πᾶσι δίδως, Θεωνᾶ τοῖς βοῶσι· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἄνευ σπορᾶς συνέλαβες, καὶ ἀφράστως γεγένηκας, τὸν ἐκ τοῦ μὴ ὄντος πάντα συστησάμενον, ἡμᾶς ἀναπλάττοντα, δι᾽ εὐσπλαγχνίαν ἄφατον, Ἄχραντε Παρθένε, διὰ τοῦτο ὑμνοῦμεν, τοῦ Τόκου Σου τὸ μέγα, μυστήριον βοῶντες· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Τῆς Θεοτόκου. Κυρίως Θεοτόκον.*

Ἱλέῳ ὄμματί Σου, βλέψον Θεοτόκε, τοὺς προεστῶτας Γεράσιμε πάντοτε, πανευλαβῶς τῇ Εἰκόνι Σου καὶ ὑμνοῦντάς Σε.

Μόνην Σου ταύτην Κόρη, τὴν Σὲ κεκτημένην, καὶ ἀρωγὸν καὶ Γερόντισσαν Πάναγνε, σκέπε καὶ φύλαττε πάσης ἐναντιότητος.

Οὐράνωσον τὸν νοῦν μου, τῇ θείᾳ ἀγάπῃ, τοῦ ἀνυμνούντος τὴν χάριν τὴν ἔνθεον, τῆς Σῆς Εἰκόνος Παρθένε παντοβασίλισσα.

Ὑφάπλωσον τὴν σκέπην, τῆς Σῆς προστασίας, ὕπερθεν ταύτης τῆς ποίμνης Σου Πάναγνε, τῆς καθ' ἑκάστης φωνούσης Σε εἰς βοήθειαν.

*Ἕτερος. Τῶν Ἁγίων. Ἐξέστη ἐπὶ τούτῳ.*

Συνόντες τῶν Ἀγγέλων ταῖς στρατιαῖς, θεοφόροι Πατέρες ἐξάριθμοι, ἐν οὐρανοῖς, πάνσοφε Γρηγόριε θαυμαστέ, καὶ Θεωνᾶ καὶ Κάλλιστε, Θεόφιλε Πάτερ καὶ ἱερέ, Γεράσιμε παμμάκαρ, σὺν θείῳ Νικοδήμῳ, ἡμῶν ἀπαύστως μνημονεύετε.

Ἱέρευσαν ὁσίως, ἐπὶ τῆς γῆς σὺν Καλλίστῳ ὁ θεῖος Γρηγόριος, καὶ Θεωνᾶς, τῷ ἐν τοῖς ὑψίστοις Παμβασιλεῖ, καὶ δόξης θείας ἔτυχον, καὶ ἀεὶ αἰτοῦνται παρὰ Χριστοῦ, χαρὰν καὶ εὐφροσύνην ταύτῃ τῇ θείᾳ Μάνδρᾳ, τοῦ Παντοκράτορος ἑκάστοτε.

Μεγίστων ἠξιώθητε ἀμοιβῶν, Μυροβλύτα Θεόφιλε Ὅσιε, σὺν τῷ κλεινῷ, θείῳ Γερασίμῳ καὶ ἱερῷ, Νικόδημε θεόσοφε, παρὰ τοῦ τῶν πάντων Δημιουργοῦ, εἰρήνην ἐξαιτεῖσθε, ταύτῃ τῇ θείᾳ Μάνδρᾳ, τοῦ Παντοκράτορος δεόμεθα.

Ὁσίων ἐξαστέλεχον καὶ σεπτόν, καὶ θεόλεκτον σύστημα ἅγιον, πάντων ἡμῶν, μύσται ἐπιδόσεις πρὸς ἱεράς, Πατέρες

οὐρανόφρονες, τῆς τοῦ Παντοκράτορος εὐαγοῦς, Μονῆς λύχνοι φωσφόροι, κἀμοὶ ὑμνοῦντι, ὑμων τοὺς πόνους χάριν ἄνωθεν.

*Θεοτοκίον.*

Ὑπέρφωτε λυχνία χρυσοφαής, τοῦ πατρώου Ἁγνὴ ἀπαυγάσματος, Μῆτερ Θεοῦ, πάντων τῶν ἀνθρώπων καταφυγή, τὸν νοῦν μου ἀπολύτρωσαι, ἐννοιῶν κακίστων καὶ ζοφερῶν, καὶ δίδου μοι Παρθένε, μετάνοιαν γνησίαν, τῷ καταφεύγοντι τῇ σκέπῃ Σου.

*Ἐξαποστειλάριον τῶν Ἁγίων. Γυναῖκες ἀκουτίσθητε.*

Πατέρες οἱ ἐξάριθμοι, Μονῆς τοῦ Παντοκράτορος, φωτοειδέστατα ἄστρα, Ἀρχιερεῖς θεοφόροι, καὶ Ἀσκηταὶ θεόληπτοι, Ἀγγέλων ἰσοστάσιοι, Χριστῷ θερμῶς πρεσβεύετε, διδόναι φῶς ἡμῖν θεῖον, καὶ ἄφεσιν τῶν πταισμάτων.

*Θεοτοκίον.*

Παρθένε Παναμώμητε, Ἀγγέλων ἡ Βασίλισσα, καὶ τῶν βροτῶν σωτηρία, καὶ Ἄθωνος προστασία, τοὺς πίστει καταφεύγοντας, τῇ Σῇ Εἰκόνι φύλαττε, ἐκ πάσης περιστάσεως, ἥτις Γερόντισσα Κόρη, προσφόρως ἐπωνομάσθη.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν θεοφόρων Πατέρων τὸν θεῖον σύλλογον, ὑμνήσωμεν συμφώνως, μοναστῶν αἱ χορεῖαι· οὗτοι γὰρ ὁσίως ἰδίοις καιροῖς, τῷ Θεῷ εὐηρέστησαν, καὶ τὴν Μονὴν Παντοκράτορος τῷ φωτί, τῆς ἀσκήσεως ἐλάμπρυναν.

Ἱεραρχίας τὴν χλαῖναν ἀμφιασάμενοι, Κάλλιστε θεοφόρε, καὶ Γρηγόριε θεῖε, καὶ Θεωνᾶ θεόφρον μυσταγωγοί, τῶν δογμάτων τῆς πίστεως, καὶ οἰκονόμοι τῆς χάριτος τοῦ Θεοῦ, ἀνεδείχθητε σοφώτατοι.

Ἀσκητικὴν πολιτείαν λαμπρῶς βιώσαντες, Θεόφιλε θεόφρον, καὶ Γεράσιμε πάτερ, συνάμα Νικοδήμῳ τῷ θαυμαστῷ, διδασκάλῳ τῆς πίστεως, ἀγγελικῆς φωταυγείας ἐν οὐρανοῖς, ἠξιώθητε μακάριοι.

Τῆς ὑπερθέου Τριάδος καταλαμπόμενοι, ἐξάριθμοι Πατέρες, ταῖς ἀΰλοις ἀκτίσι, λυτρώσαθε κινδύνων καὶ πειρασμῶν, τὴν Μονὴν Παντοκράτορος, τὴν ἑορτάζουσα πίστει εἰλικρινεῖ, τὴν σεπτὴν ὑμῶν πανήγυριν.

*Δόξα. Ἦχος πλ. δ΄*

Τῶν ἀρετῶν τὴν τρίβον, νουνεχῶς βαδίσαντες, ἐν ἀσκητικοῖς καμάτοις, δόκιμοι ὤφθητε, θεοφόροι Πατέρες ἀγγελόφρονες· ἀνενδότῳ γὰρ ψυχῇ, τῶν κάτω ὑπεριπταμενοι, ταῖς νοεραῖς οὐσίαις ἁμιλλώμενοι ὡράθητε, καὶ χαρισμάτων θείων ἐπληρώθητε. Διὸ Ἄθως ὁ περίβλεπτος, ἐν ὑμῖν καυχᾶται, καὶ ἡ Μονὴ Παντοκράτορος, τῶν καλῶν ὑμῶν τρυφήσασα, χρεωστικῶς ἑορτάζει τὴν μνήμην ὑμῶν κράζουσα· παῤῥησίαν ἔχοντες μακάριοι, τῇ Ἁγίᾳ Τριάδι, αἰτεῖσθε ἡμῖν τὸ θεῖον ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ συνήθη.*

*Ἀπόστολον τῆς ΙΗ΄ Ὀκτωβρίου.*

*Εὐαγγέλιον Ὁσιακόν.*

*Κοινωνικόν:* Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.

*Μεγαλυνάριον.*

Χαίρετε Πατέρες θεοειδεῖς, πυρσοὶ φωτοφόροι, Παντοκράτορος τῆς Μονῆς, καὶ πάγκαρπα δένδρα, ζωῆς τῆς μακαρίας, καὶ πρὸς Χριστὸν μεσῖται, οἱ ἑτοιμότατοι.

